## XI. Περὶ ῥοῦ γυναικείου.

1 **43.** [Ὁ καλούμενος γυναικεῖος ῥοῦς] Κατὰ μὲν τοὺς ἀρχαίους, ὡς Ἀλέξανδρος ὁ Φιλαλήθης ἐν τῷ πρώτῳ λέγει τῶν Γυναικείων, ῥοῦς ἐστι "πλείονος αἵματος φορὰ διὰ μήτρας μετὰ παρεκτάσεως χρόνου", κατὰ δὲ Δημήτριον τὸν Ἡροφίλειον "φορὰ ὑγρῶν διὰ μήτρας μετὰ παρεκτάσεως χρόνου", τῷ μὴ αἱματώδη μόνον ἀλλὰ καὶ ἄλλοτε ἀλλοῖον κατὰ χρόνον γίνεσθαι ῥοῦν. καθ' ἡμᾶς δὲ ῥευματισμός ἐστιν ὑστέρας χρονίζων αἰσθητῶς ἀποκρινομένου πλείονος
2 ὑγροῦ. διαφοραὶ δὲ αὐτοῦ κατὰ μὲν Ἀσκληπιάδην καὶ ἄλλους τινὰς δύο (εἷς μὲν γάρ ἐστιν ἐρυθρός, ἄλλος δὲ ὑδατώδης καὶ λευκός), κατὰ δὲ τὸν Δημήτριον παρὰ τὴν χρόαν καὶ τὴν δύναμιν. παρὰ μὲν οὖν τὴν χρόαν· ὃς μὲν γάρ ἐστι λευκός, πτισάνης χυλῷ παρα-
339 πλήσιος, ὃς δὲ ὑδατώδης, | ὃς δὲ ἐρυθρός, ὃς δὲ μέλας, ὃς δὲ ὕφαιμος σαρξὶ πεπλυμέναις ὅμοιος, ὃς δὲ ἀνώμαλος, ὃς δὲ ὠχρός· παρὰ δὲ τὴν δύναμιν ὃς μέν ἐστιν ἀργὸς καὶ ἄνευ δήξεως καὶ ἀλγήματος φέρεται, ὃς δὲ φέρεται μετὰ δήξεως καὶ ἀναβρώσεως καὶ συναίσθησιν
3 ἐπώδυνον ἐν τῷ καιρῷ τῆς ἀποκρίσεως ἐπιφέρων. λέγει δὲ καὶ τὸν μὲν ἀφ' ὅλου φέρεσθαι τοῦ σώματος, τὸν δὲ ἀπὸ τῆς ὑστέρας, τὸν δὲ ἀπ' ἄλλου τινὸς μέρους, καὶ τὰς τούτων διαφορὰς ἐπεξέρχονται δὲ μετὰ σημειώσεως. ἃς μακρὸν ἅμα καὶ ἄχρηστον ἐξιστορεῖν· ἐπὶ παντὸς γὰρ ῥευματισμοῦ καὶ ὅλων τῶν σωμάτων καὶ μερικῶς τῆς ὑστέρας ἐπιμελεῖσθαι προσῆκεν. λέγεται δὲ ὁ λευκὸς ῥοῦς τοῦ ἐρυθροῦ
4 δυστραπελώτερος, ὡς διὰ στενοτέρων φερόμενος πόρων. ἡμεῖς δὲ κατὰ κοινὸν σημειωσόμεθα τὸν ῥοῦν ἐκ τοῦ συνεχῶς καθυγραίνεσθαι τοὺς τόπους διαφόροις κατὰ χρόαν ὑγροῖς, τὴν δὲ κάμνουσαν ἀχροεῖν καὶ ἀτροφεῖν καὶ ἀνορεκτεῖν κἂν τοῖς περιπάτοις πολλάκις δυσπνοεῖν καὶ κατοιδηκότας ἔχειν τοὺς πόδας.

1 **44.** κατὰ δὲ τὸ προσεχὲς διοίσει τὸ πάθος αὐτοῦ τῷ τὸν μὲν χωρὶς πόνου ὑπάρχειν, τὸν δὲ μετὰ πόνου, καὶ ⟨τὸν μὲν⟩ χωρὶς ἑλκώσεως, τὸν δὲ μεθ' ἑλκώσεως, ⟨ἤτοι⟩ φλεγμαινούσης ἢ ῥυπαρᾶς ἢ

2 § 43 sq.] *cf. Orib. Synops. IX 46; Epit. Orib. t. IV 636 B.—D.; Aet. XVI 63* (Ἀρχιγένους)*; Paul. III 63; Orib. lat. t. VI 353; Must. II cap. XI*

2 ρζ′ *in mg.* P ὁ καλούμενος γυναικεῖος ῥοῦς *ex Aetio recepit* P 3 ὧν P: *corr. Dietz* γυναικῶν P: *corr. Dietz* 4 ῥοῦς *seclus. Ermerins* πλείονός ἐστιν *Ermerins* 5 ἡρόφιλον P: *corr. Dietz* 12 ἀπὸ φλεγματικοῦ αἵματος *supra* παραπλ., τοῦ ὀρρόδους περιπτώματος (*l.* περιττ.) *supra* ὃς δὲ ὑδ., ἰχὼν (*l.* ἰχὼρ) αἵματος *supra* ὃς δὲ ἐρ., μελαίνης χολῆς *supra* ὃς δὲ (μέλ.) *ead. man.* P *ex Aetio* 16 ὃ P: *corr. Rose* συναισθήσεως ἐπωδύνου P: *corr. Reinhold* 17 ἀκρίσεως P: *corr. Dietz* 19 τὰς *Dietz*: τῆς P ἐπεξέρχονται] *scil.* Δημήτριος καὶ οἱ ἀπ' αὐτοῦ: ἐπεξέρχεται *Ermerins* 20 δὲ *del. Dietz* σημειώσεων *Rose* 22 προσῆκον P: *corr. Ermerins* 23 στενωτέρων P 24 σημειωσάμενοι P: *corr. Ermerins* 27 κατῳδηκότας *Rose* 29 τὸν μὲν *add. Rose* 30 ἤτοι *add. Rose ex Orib. epit.* *post* φλεγμαινούσης *add.* ἢ ἀφλεγμάντου *Orib. epit., adversantur tamen Must. p. 71, 10 et infra p. 123, 14*